ΧΓΦ.26

Ιερά Μητρόπολις Κιτίου

Χγφ. 26.1



~~75.1~~

Ιερά Μητρόπολις Κιτίου

Ὅτι ἡ ὀφελλέσεται να τὴ γαγὴ [illegible]
κεόπηως τὴν [illegible]



# ἈΚΟΛΟΥΘΙΑ ΤΟΥ͂ ἉΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΛΕΟΝΤΙΟΥ ἯΣ ΤΟ ἘΛΛΕΙ͂ΠΟΝ

ἈΝΕΠΛΗΡΩΘΗ ΠΑΡΑ ΦΙΛΟΘΕΟΥ ἹΕΡΟΔΙΑΚΟΝΟΥ
ΠΡΟΤΡΟΠῌ͂ ΤΟΥ͂ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ἉΓΙΟΥ
ΚΙΤΙΩΝ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΛΕΟΝΤΙΟΥ.

ΨΆΛΛΕΤΑΙ ΔΈ ΑὛΤΗ
Ἡ ἈΚΟΛΟΥΘΙΑ

ἸΟΥΝΙΟΥ ΙΗ

ἘΝ ἜΤΕΙ ,ΑΩΚΒ

ΑὐΓΟΥΣΤΟΥ ΚΘ

## Ἰουνίου ιη' τοῦ ἁγίου μεγαλομάρτυρος Λεοντίου.

Ἑσπέρας στ(ιχηρά): προσόμοια. ἦχ(ος): πλ(άγιος) δ'.

Τί σε ὀνομάσωμεν ἔνδοξε, τῆς Ἑλλάδος προσφορὰν, ὡς ὡρμημένον ἀπ' αὐτῆς· τῆς Φοινίκης καθαρμὸν, ὡς τεθυμένον ἐν αὐτῇ· φωστῆρα, ὡς ἐν σκότει καταστράψαντα· στεμμάτιον, ὡς ἀήττητον τοῖς πλήττουσι· πολύτροπος σου ἡ εὔκλεια, Λεόντιε παμμακάριστε· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ἀθλοφόρε προσείπωμεν; στρατιώτην τοῦ Χριστοῦ, ὡς καθαιρέτην τῶν ἐχθρῶν· βασιλέα τῶν παθῶν, ὡς εὐσεβείας ἀθλητήν· τροφέα, τῶν πεινώντων, ὡς φιλόπτωχον· δικαίων ἐραστὴν, ὡς οὐρανόφρονα· ποικίλα σου τὰ παθήματα λαμπρότερα τὰ παλαίσματα· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τίς σε οὐ θαυμάσει Λεόντιε; ὅτι ἔνοικον λαβὼν, τῆς ἀληθείας τὴν πηγὴν, ποταμοὺς εὐεργεσίας, ἀναβλύζεις τοῖς πιστοῖς, καὶ πᾶσιν ἀμαργύρως ἀνεπίφθονα, προφέρεις, τοῖς διψῶσι τὰ δωρήματα, εὐφραίνεις δὲ τοὺς μετέχοντας, τοῖς ὕδασι τῆς χρηστότητος, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τίς σε οὐ θαυμάσει Λεόντιε; δι' ἣν εἶχες ἀληθῶς, παρρησίαν πρὸς Θεόν· δι' εὐχῆς σου γὰρ αὐτὸν, ἔπεισας πέμψαι ὑετὸν, Ὑπάτιον βαπτίσαι καὶ Θεόδουλον, τοὺς θαυμαστῶς ἀριστεύσαντας, καὶ τύραννον καταισχύναντας, μεθ' ὧν πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τίς οὐ λίαν φρίττει θεόσοφε; ἐννοῶν σου τὰς βασάνους, ἃς ὑπέστης ἀνδρικῶς, ὅτε, τῷ τυράννου βήματι παρέστηκας; καὶ Χριστὸν ἀρνήσασθαι οὐκ ἔφερες· τυπτόμενος ἐκαρτέρησας, ξεόμενος, οὐκ ἐνδέδωκας Λεόντιε παμμακάριστε, ἱκέτευε, τοῦ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Οὕτως στρατιώτης ἀήττητος, ἀμε:
λέχθης τοῦ Χριστοῦ, κατὰ τῆς πλά
νης τοῦ ἐχθροῦ, τὰς γάρφα=
λαγγας αὐτοῦ κατέστρεψας,
καὶ πρὸς τὸμ δεσπότημ σου ἀμέ:
δραμες, παρ' οὗ τὰ γέρα ἀπεί:
ληφας, τῶμ πόνωμ σου παμμα:
κάριστε. Ἱκέτευε τοῦ σωθῆναι
τὰς ψυχὰς ἡμῶμ.

Δόξα ἦχος πλ. β.

Σήμερομ ἀμέτειλεμ ἡμῖμ, ἡ
σεβάσμιος μνήμη, Λεοντίου
τοῦ μάρτυρος. Δεῦτε οὖμ φι=
λέορτοι, ᾀσματικοῖς αὐτὸμ
ἐγκωμίοις, εὐφημήσωμεν λέ:
γομτες. χαίροις σοφὲ στρα:
τιῶτα Χριστοῦ, ὅτι τὴμ ἀσε:
βῆ στρατηγίαμ μισήσας, στρα:
τηγεῖμ ἐξελέξω τῷ Βασιλεῖ
τῶμ δυνάμεωμ. χαίροις στερ:
ρὲ ἀθλητά, ὅτι τοῖς σοῖς σοφοῖς
λόγοις, τὸμ ἀντίθεομ τύραμ=
νομ ᾔσχυνας, τὰς ἀπειλὰς
αὐτοῦ καὶ βασάνους, εἰς οὐδὲμ
λογισάμενος. χαίροις γενναι:
ότατε ἀριστεῦ, ὅτι τῆς τοῦ Κυ:
ρίου ἀγάπης, οὐδὲμ προτιμότε:
ρον ἥγησαι, ἀλλὰ τυπτόμε:
νος δι' αὐτόμ, ὡς ἄκμωμ ἐκαρτέ:
ρεις, καὶ ξεόμενος ἀπτήμως, ἀήτ:
τητος ἔμεινας. τὴμ δὲ μακα=
ρίαμ κάραμ σου ἐκτμηθεὶς, πρὸς
τὸμ δεσπότημ σου χαίρωμ, ὡς νι:
κητὴς ἀμελήλυθας. ὅθεμ καὶ
νῦν αὐλίζῃ, στεφηφόρος ἐμ οὐρα=
νοῖς, ἐμτυγχάνωμ ἀμέσως, τῇ
τρισηλίῳ θεότητι. πρὸς ἣμ αἴτι:
ε, ὡς ἔχωμ παρρησίαμ πολλήμ,
πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς
ἡμῶμ.

Καὶ νῦν.

Τίς μὴ μακαρίσει σε

εἴσοδος. τὸ προκείμενομ τῆς ἡμέ:
ρας. καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ ἀνά:
γνωσμα.

Τάδε λέγει Κύριος. πάντα
τὰ ἔθνη συνήχθησαν ἅμα,
καὶ συναχθήσονται Ἄρχοντες
ἐξ αὐτῶμ. Τίς ἀναγγελεῖ ταῦ=
τα ἐμ αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς
ἀκουστὰ ποιήσει ὑμῖμ; ἀγαγέτω:
σαν τοὺς μάρτυρας αὐτῶμ, καὶ
δικαιωθήτωσαν, καὶ εἰπάτωσαν
ἀληθῆ. Γένεσθέ μοι Μάρτυρες,
καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός,
καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. ἵνα
γνῶτε, καὶ πιστεύσητέ μοι, καὶ
συνῆτε,

συνῆτε, ὅτι ἐγώ εἰμι. ἔμπρο=
σθέμ μου οὐκ ἐγένετο ἄλλος Θε=
ός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. ἐ=
γώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πα:
ρεξ ἐμοῦ ὁ σώζωμ. ἐγὼ ἀνήγγει:
λα καὶ ἔσωσα. ὠνείδισα, καὶ
οὐκ ἦμ ἐμ ὑμῖμ ἀλλότριος. ὑ:
μεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ
μάρτυς Κύριος ὁ Θεός. ὅτι ἀ=
π' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔ=
στιμ ὁ ἐκ τῶν χειρῶν μου ἐξαι:
ρούμενος. ποιήσω, καὶ τίς ἀ:
ποστρέψει αὐτό; οὕτω λέγει
Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑ:
μᾶς ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνά
γνωσμα.

Δικαίωμ ψυχαὶ ἐμ χειρὶ Θεοῦ,
καὶ οὐ μὴ ἅψηται αὐτῶμ βά:
σανος. ἔδοξαν ἐμ ὀφθαλμοῖς
ἀφρόνων τεθνάναι, καὶ ἐλογί=
σθη κάκωσις ἡ ἔξοδος αὐτῶν,
καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμ
μα. οἱ δέ εἰσιν ἐμ εἰρήνῃ. καὶ
γὰρ ἐμ ὄψει ἀνθρώπων, ἐὰν κολα:
σθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθα:
νασίας πλήρης. καὶ ὀλίγα παι=
δευθέντες, μεγάλα εὐεργετη:
θήσονται. ὅτι ὁ Θεὸς ἐπείρα:
σεμ αὐτούς, καὶ εὗρεμ αὐτοὺς ἀ:
ξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐμ χω:
νευτηρίῳ ἐδοκίμασεμ αὐτούς,
καὶ ὡς ὁλοκάρπωμα θυσίας προ:
σεδέξατο αὐτούς. καὶ ἐμ καιρῷ
ἐπισκοπῆς αὐτῶν ἀναλάμψου:
σι, καὶ ὡς σπινθῆρες ἐμ κα:
λάμῃ διαδραμοῦνται. κρινοῦ.
σι ἔθνη, καὶ κρατήσουσι λαῶν,
καὶ βασιλεύσει αὐτῶν Κύριος
εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες
ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν,
καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμε:
νοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλε:
ος ἐν τοῖς ὁσίοις αὐτοῦ. καὶ ἐπι:
σκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος
τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ
ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ
φροντὶς αὐτῶν παρὰ ὑψίστῳ.
διὰ τοῦτο λήψονται τὸ βασίλει:
ον τῆς εὐπρεπείας, καὶ τὸ διά=
δημα τοῦ κάλλους ἐκ χειρὸς Κυ:
ρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ σκε:
πάσει αὐτούς, καὶ τῷ βραχίονι

ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸμ ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν. καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται. καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. ἀντιστήσεται αὐτοῖς Πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε. μάθετε δικασταὶ περάτων γῆς. ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν δόξα

ἦχος α.

Θείῳ ἔρωτι τρωθεὶς τὴν ψυχήν, τῶν γηΐνων κατεφρόνεις, Λεόντιε ἀοίδιμε. καὶ θείαις θεωρίαις τὸν νοῦν ἐνασκῶν, ἐθεώρεις ἐν σεαυτῷ ἐμφανῶς, τοῦ σοῦ δεσπότου τὸ κάλλος. πρὸς ὃν ἀναβῆναι, καὶ συνεῖναι ποθῶν, ἔγνως ἐν βίῳ θεοφιλεῖ, καὶ ἀμέμπτῳ βιῶναι, καὶ μηδὲν τῆς ἀγάπης αὐτοῦ, τίθεσθαι προτιμότερον. ὅθεν τεμνομένων τῶν μακαρίων μελῶν σου ὑπὲρ αὐτοῦ, ἔφερες τὰ ἄλγη χαρμονικῶς, ἀνελθεῖν πρὸς αὐτὸν ἐφιέμενος. πρὸς ὃν αἴτει μεγαλομάρτυς ἀθλητά, στῦλε καὶ ἑδραίωμα τῆς ἐκκλησίας, ὡς ἔχων παρρησίαν πολλήν, μὴ διαλείπῃς πρεσβεύειν, εἰρήνην τῇ οἰκουμένῃ παρασχεῖν, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.





Ἀπόστιχα: ἦχος α.

Τῶν οὐρανίων ταγμάτων.

Τὸν εὐκλεῆ τῆς Ἑλλάδος, πολίτην σήμερον, καὶ μιμητὴν γενναῖον, τῶν Χριστοῦ παθημάτων, Λεόντιον τὸν θεῖον, εὐφημήσωμεν οἱ πιστοί, τὸν ἐν μάρτυσι μέγιστον, ὅτι νομίμως ἐνήθλησε δι' αὐτόν, καὶ νῦν πρεσβεύει ὑπὲρ πάντων ἡμῶν.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς

Στῦλος ἀείφωτος ὤφθης, τῆς ἐκκλησίας Χριστοῦ, τοὺς γὰρ πιστοὺς φωτίζεις, καὶ λαμπρύνεις ἀφράστως, τοὺς δὲ ἀπίστους φέρεις, καὶ ὁδηγεῖς, πρὸς τὴν θείαν ἐπίγνωσιν, τοὺς δὲ προστρέχοντας πίστει, πάντας πρὸς σέ, ἐκ παντοίων ἀπαλλάττεις δεινῶν.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ

Τέλειος φύλαξ ἐγένου, τῶν ἐντολῶν τοῦ Θεοῦ, Λεόντιε τρισμάκαρ, τῶν μαρτύρων τὸ κλέος, τὴν δόξαν γὰρ τοῦ βίου ὑπεριδών, τὴν ἐμμένουσαν προέκρινας, καὶ διὰ Χριστὸν τε-

::ἀνδρικῶς,

θῦσαι τὸν κτίστην σου.:; διὰ τοῦτο τιμῶμεν τὴν μνήμην σου.

Δόξα ἦχος πλ. β

Τὸν λαμπρότατον ἀριστέα τοῦ Χριστοῦ, καὶ τῆς Ἑλλάδος τὸ μέγα κλέος, Λεόντιον τὸν μεγαλομάρτυρα εὐφημήσωμεν, καὶ τὴν σεβάσμιον αὐτοῦ μνήμην, χαρμονικῶς ἑορτάσωμεν. ἰδοὺ γὰρ σήμερον, προτίθεται ἡμῖν, τράπεζαν πνευματικὴν τοῖς πιστοῖς, τὰς λαμπρὰς ἀριστείας αὐτοῦ, ἃς κατὰ τῶν ἀντιθέων ἐποίησε. Δεῦτε οὖν φιλέορτοι, ἐντρυφήσωμεν νοερῶς ἐν ταύταις, καὶ πνευματικῶς εὐφρανθέντες, πρὸς αὐτὸν ἐκβοήσωμεν. ὁ τῶν δαιμόνων καταλύσας τὴν ἰσχύν, καὶ τῶν εἰδώλων τὴν πλάνην καταργήσας, Λεόντιε παμμακάριστε, ὡς παρεστὼς τῇ Τριάδι, ἐν παρρησίᾳ πολλῇ, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Τροπάριον ἦχος δ.

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος.

Ὡς πολιοῦχος καὶ φωστὴρ τῆς Ἑλλάδος, καὶ πρεσβευτὴς πρὸς τὸν Θεὸν καὶ προστάτης, μεγαλομάρτυς ἔνδοξε Λεόντιε, προσδε-

ξαι τὴν δέησιν, καὶ ἡμῶν τῶν σῶν δούλων καὶ συγγνώμην αἴτησαι, ὧν ἡμαρτομεν πάντες, ὡς παρρησίαν ἔχων πρὸς αὐτόν, καὶ θείας αἴγλης μετέχων γηθόμενος.

Εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχ: καθ: ἦχος πλ δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τῆς Ἑλλάδος τὸ κλέος καὶ μιμητήν, τῶν Χριστοῦ παθημάτων καὶ ζηλωτήν, τῆς πίστεως μέγιστον, καὶ μαρτύρων ἀγλάϊσμα, Λεόντιον ἅπαντες, ἀνευφημήσωμεν ᾄσμασι, καὶ ζεούσῃ καρδίᾳ αὐτῷ ἐκβοήσωμεν. ὁ Χριστὸν Θεὸν εἶναι, πρὸ τυράννων κηρύξας, καὶ εἰδώλων τὴν πλάνην, θεατρίσας στερρότατα, τήν τε πίστιν στηρίξας, τῇ ῥοῇ τῶν αἱμάτων σου, ἀθλοφόρε ἀοίδιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν θεοτοκίον.

Τὴν σοφίαν καὶ λόγον, ἐν στη:

Τὴν Κυρίαν ἀγγέλων καὶ τῶν βροτῶν, ἀοράτων κτισμάτων καὶ ὁρατῶν, Μαρίαν ὑμνήσωμεν, τὴν τὸν κτίστην τῶν ὅλων, ἀπειράνδρως κυήσασαν, καὶ μετὰ τόκον αὖθις, ὡς πρὸ τόκου ὁμοίως, ἀδιάφθορον μείνασαν, ὅτι διὰ ταύτης τῷ Θεῷ ᾠκειώθη, τὸ ἀνθρώπειον γένος, ὅπερ πρῴην ἐκπέπτωκε, καὶ θαυματῷ ὡμίλησε. διὰ τοῦτο βοῶμεν αὐτῇ, πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

Τὴν ὡραιότητα τῆς Παρθε:
ἦχος γ΄.

Τὸν ἀγλαὸν εὐκλεέστατον Κυρίου Μάρτυρα, καὶ τιμιώτατον πᾶσι τοῖς χρῄζουσι, πλοῦτον προφανῆ ἰαμάτων, καὶ πάντων τῶν ὧν οὐκ ἀνθρώπων, τὸν ἔνδοξον Λεόντιον, ἐν ᾠδαῖς εὐφημήσωμεν. οὗτος γὰρ ἐνήθλησεν, ὑπὲρ Χριστοῦ ἀνδρικώτατα, καὶ κατετραυμάτισε τῶν δαιμόνων τὰ τάγματα, καὶ νῦν πρεσβεύει ἀδιαλείπτως, ὑπὲρ ἡμῶν τῶν τιμώντων αὐτόν.

Δόξα καὶ νῦν θεοτοκίον.
Τὴν ὡραιότητα.

Τὴν κινδυνεύουσαν ψυχήν μου πάναγνε, καταποντίζεσθαι βυθῷ τῶν θλίψεων, καὶ τῶν πταισμάτων τοῖς δεινοῖς ἀπόλλυσθαι καθ' ἑκάστην, σῶσαι ἱκετεύω σε, καὶ πρὸς τρίβους ἰθύναιμε, μετανοίας τὸν δείλαιον, ἵνα πίστει καὶ πόθῳ κραυγάζω σοι, χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Μετὰ τὸν πολυέλεον
Κατεπλάγη Ἰωσήφ.
ἦχος δ΄.

Στρατιώτης ἀληθής, Θεοῦ γενέσθαι βουληθείς, ἀπετάξω στρατηγεῖν, τοῖς ἀντιθέοις δυσσεβῶς, τῷ βασιλεῖ τῶν βασιλέων προσέδραμες, ὅθεν ὁπλισθεὶς τὸν ἀντίπαλον, τῷ τοῦ σταυροῦ ὅπλῳ κατέβαλες, καὶ τοὺς ἐν πίστει ἐστήριξας, τῇ ἐκροῇ τῶν αἱμάτων σου. διὸ βοῶμεν, Λεόντιε ἀθλοφόρε, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου.

Δόξα καὶ νῦν θεοτοκίον

Τοῦ ἐλέους τὴν πηγήν, κυοφορήσασα ἁγνή, ἀνεζώωσας βροτούς, θανατωθέντας δολερῶς, τῇ τοῦ ἐχθίστου νοητοῦ ὄφεως πλάνῃ. ὅθεν εὐλαβῶς ἀνυμνοῦμέν σε, καὶ ἱκετικῶς σοι κραυγάζομεν, μῆτερ ἐλέους ἀπείρου, καὶ προστάτις εὐσεβῶν ἀκαταίσχυντε, μὴ διαλείπῃς, ἀεὶ πρεσβεύειν, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.



Οἱ ἀναβαθμοί. τὸ α΄ ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον
ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.
στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ Πᾶσα πνοή. εὐαγγέλιον. ζήτει τῇ κς΄. τοῦ Ὀκτωμβρίου. εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. προσέχετε ἀπὸ τῶν ἀνθρώπων. ἐπιβαλοῦσι γὰρ κτ.

ὁ Ν. Δόξα

Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν
Ταῖς τῆς θεοτόκου. εἶτα. στίχ.
Ἐλέησόν με ὁ Θεός.
Καὶ τὸ ἰδιόμελον. ἦχος πλ β΄.

Σήμερον ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτῖσι. καὶ ἡ τοῦ Χριστοῦ ἐκκλησία, τοῖς ἄνθεσιν ὡραΐζομένη, Λεόντιε βοᾷ σοι, θεράπων Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλείπῃς πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. οἱ κανόνες τῆς ὀκτωήχου, καὶ τοῦ ἁγίου.
Οὗ ἡ ἀκροστιχίς· Ἀνθ᾿ τῆς θεοτοκ:
Νίκη Θεὸς σοι καὶ γέρας Λεόντιε.
ᾠδὴ α΄. ἦχος δ΄ Ἀσωμάτοισι Κύριε.
Ἰωάννου Μοναχοῦ.

Νόμοις ἐγκωμίων ἡ ἀρετή σου, οὐχ ὑποπίπτει τοῦ Χριστοῦ, θεράπον Λεόντιε· αὐτὸς γάρ σοι ἐγκώμιον, καὶ ἔλεος ἀναφαίρετον.

Ἰώμενος μάκαρ τὴν παρὰ φύσιν, τὴν ἀκηλίδωτον ψυχήν, παρθένῳ τῷ σώματι, κοσμήσας πρὸς τὴν ἄνοδον, ὁλοσταλῆ κατασκεύασον.

Κράτος ἀπημέγκω κατὰ τῆς πλάνης, τὴν εἰς τοὺς μάρτυρας τιμήν, γεραίρων ὁσίως, ἀοίδιμε Λεόντιε, τὸν ἀεί σοι ποθούμενον. Θεοτοκίον.

Πῶς σε μακαρίσωμεν Θεοτόκε, τὴν ὑπερτέραν οὐρανοῦ, καὶ πάσης τῆς κτίσεως; υἱὸν γὰρ ἐτέκνησας, τὸν πλάστην καὶ θεὸν ἡμῶν.

ᾠδή, γ'. Τόξον δυνατῶν ἠσθένησε.

Ἦθος ἀσταλὲς καὶ φρόνημα, χάριν τε θεόθεν κεκτημένος Λεόντιε, ἀνεδέχθης τῆς ἀληθείας, ἀθλητὴς καὶ Μάρτυς ἄριστος.

Θεῶσαι τὰς ψυχὰς τῷ ζῶντι θεῷ, τοῖς συστρατιώταις ἀνεφώνεις Λεόντιε, βασιλεῖ τε τῷ αἰωνίως, διαμένοντι στρατεύεσθαι.

Ἔρρει δυσσεβείας ῥήματα, ἡ μελισταγής, καὶ φιλόθεος γλῶσσά σου, τοῖς δὲ δούλοις τῆς ἀσεβείας, βλασφημεῖν διεβάλλετο.

Θεοτοκίον.

Χαίροις Μήτηρ ἀπειρόγαμε, ἡ τὸν θεὸν λόγον ἐν γαστρί σου χωρήσασα, καὶ τεκοῦσα σεσαρκωμένον, ὡς θεὸν ὁμοῦ καὶ ἄνθρωπον. Ὁ Εἱρμός

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Κάθισμα ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Σταυρὸν ὥσπερ θώρακα, ἀναλαβόμενος, πρὸς πάλην ἐχώρησας, τῶν κοράτων ἐχθρῶν, γενναίως Λεόντιε· ὅθεν ἐξαφανίσας, τὴν αὐτῶν δυναστείαν, ἔπαθλον ἐκομίσω, τῶν θαυμάτων τὴν χάριν, πρεσβεύων τοῦ σωθῆναι ἡμᾶς Μάρτυς πανένδοξε.

Δόξα καὶ νῦν θεοτ: ὅμοιον.

Ἐχθροῖς παρατάχθητι, τοῖς πολεμοῦσιν ἡμῖν, δεινῶς κατέβησαν, τῇ κληρουχίᾳ τῇ σῇ, παμμάχουν τε Δέσποινα· ὄλεσον αὐτοχείρως, τῶν βαρβάρων τὰ θράση· γνώτωσαν τὴν ἰσχύν σου, φιλοπόλεμα ἔθνη· τῷ νεύματί σου τούτους πάντας ἐξαφάνισον.

Σταυροθεοτοκίον

ὅμοιον.

Παρθένε πανάμωμε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν υἱὸν καὶ θεόν σου· ὅνπερ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.

ᾠδή, δ'. Τῆς σῆς ἐπὶ τῆς γῆς.

Ὁ τῷ θυμῷ τῷ δεισιδαίμονι ὑπόσπονδος, σὲ τὸν πόθῳ τῷ θείῳ συνεχόμενον, ἀνηλεῶς ἀνέταξε, Μάρτυς ἀθλοφόρε Λεόντιε.

Συνεκρατεῖτο παρρησίᾳ σοι Λεόντιε, ὑπὲρ τῆς ἀληθείας κινδυνεύοντι· μέχρι τομῆς καὶ καύσεως, πάσης κατετόλμας ἀοίδιμε.

Σὲ σαγηνεύειν καὶ ζωγρεῖν πρὸς τὴν ἀλήθειαν, θαρσαλέως ἀντέφης, ὡς μακαριστὸν τὸν ἀπειλοῦντα ἥττημαι, Μάρτυς Ἀθλοφόρε Λεόντιε.

Θεοτοκίον.

Χερουβικῶν ταγμάτων ὑπερέχουσα, καὶ θεὸν ἐν ἀγκάλαις ἐποχούμενον, μετὰ σαρκὸς βαστάσασα, χαῖρε Θεοτόκε πανύμνητε.

ᾠδή ε'. Ὁ ἐκτησάμενος ἡμᾶς.

Ἱερεῖον πρὸς σφαγήν, ἑτοιμότατον ἀχθείς, Λεόντιε πανένδοξε, τυραννικοῦ πρὸ βήματος, ὑπὲρ Χριστοῦ αὐθαιρέτως παρίστασο.

Καθελεῖν σου τὸ στερρόν, ἐπειρᾶτο τῆς ψυχῆς, τῆς πλάνης ὁ ὑπεύθυνος, τὸν σταυρωθέντα Κύριον, ὥσπερ κακοῦργον βροτὸν λοιδορούμενος.

Ἀπολέσθωσαν θεοί, οἳ τὴν γῆν καὶ οὐρανόν, σαφῶς μὴ τεχνησάμενοι· ὁ σταυρωθεὶς ἁπάντων γάρ, Δημιουργός ἐστι Μάρτυς ἀπέλεγες.

Θεοτοκίον.

Ἡ θεὸν ὑπερφυῶς, συλλαβοῦσα ἐν γαστρί, παρθενομῆτορ ἄχραντε, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, τοῖς θεοτόκον σε ὕμνοις δοξάζουσιν.

ᾠδή ς'. Ἐβόησε προτυπῶν.

Ἱλαρὸς μέν, τοῖς προστρέχουσι πίστει Λεόντιε, καὶ τὸν λόγον, ἠρτυμένος τῷ θείῳ σου ἅλατι, ἀταμώτατος δὲ τοῖς ἐχθροῖς

τοῦ χριστοῦ ἀνεδείκνυσο.

Γέγηθώς σοι, ὁ πιστὸς σου θεράπων Λεόντιος, ἀπεδίδου τὸ μαρτύριον τῆς βασιλείας σου. ἀλλ᾽ οὐκ ἔφερον, οἱ ἐχθροί σου χριστὲ τὴν ἀλήθειαν.

Ἐξήπτοντο, τῷ θυμῷ ὥσπερ θῆρες οἱ ἄνομοι, καὶ τὰς χεῖρας, ἐπετίθουν ὡς ἀρνίῳ τῷ μάρτυρι, ἐπεσπώμενοι, διασπᾶν ἀφειδῶς τὸν ἀήττητον.

Θεοτοκίον.

Δεόμεθα, ὑπὲρ τῶν ἱκετῶν σου ἀλόχευτε Θεοτόκε, τὸν ἐκ σοῦ σαρκωθέντα δυσώπησον. ὅτι σε καὶ μόνην, προστασίαν ἡμῶν ἐπιστάμεθα.

Ὁ Εἱρμὸς

Ἐβόησε, προτυπῶν τὴν ταφ:

Κοντάκ. ἦχος γ᾽.

Ἡ Παρθένος.

Τῶν Τυράννων ἤσχυνας, τὰς πονηρὰς ἐπινοίας, καὶ Ἑλλήνων ἤλεγξας, τὴν ἀθεώτατον γνώμην. ηὔφρανας τὰς τῶν ἀγγέλων χοροστασίας. ἰάσεις τῶν νοσημάτων πιστοῖς παρέχεις. διὰ τοῦτό σου τὴν μνήμην, τιμῶμεν πόθῳ σοφὲ Λεόντιε.

Τῷ αὐτῷ μηνί, ΙΗ᾽. Τοῦ Ἁγίου Μάρτυρος Λεοντίου καὶ τῶν σὺν αὐτῷ, ὑπατίου, καὶ θεοδούλου.

Ἄκμων τὸ σῶμα τοῦ Λεοντίου τάχα.

Ἄκμων σιδηροῦ πρὸς σφύρας τὰς ἀγκάλας.

Ὀγδοάτῃ δεκάτῃ πληγῇσι Λεόντιος ἐκπνεῖ.

Οὗτος τὴν μὲν γέννησιν ἔσχεν ἐξ Ἑλλάδος, μετέπειτα δὲ σώματος συναυξηθεῖσαν ἔχων ἀλκὴν καὶ ῥώμην, τοῖς στρατιωτικοῖς καταλόγοις ἐτάχθη. ἐν δὲ τῷ πολεμεῖν καὶ ἐν τοῖς ἐναντίοις ἐμπλέκεσθαι ἀνδρεῖος, καὶ πολλάκις τρόπαια στήσας. δόξαν δὲ καὶ σύνεσιν ἔχων καὶ λογισμὸν ἔμφρονα, τῇ στρατηγικῇ στολῇ καὶ τοῖς παρασήμοις κατεκοσμήθη. Διατρίβων δὲ ἐν τριπόλει τῇ κατὰ τὴν ἀφρικὴν, ταῖς βασιλικαῖς σιτήσεσι καὶ φιλοφροσύναις, ἐδέξιοῦτο τοὺς πένητας, καὶ γνησίως καὶ εἰλικρινῶς ἐλάτρευε τῷ θεῷ. περὶ τούτου μαθὼν ὁ ἡγεμὼν Ἀδριανὸς τῆς φοινίκης, ὃς ἦν κατὰ τοὺς καιροὺς οὐεσπεσιανοῦ, ἀποστέλλει πρὸς αὐτὸν ὑπάτιον τριβοῦνον μεθ᾽ ἑτέρων δύω στρατιωτῶν, ὧν ὁ ἕτερος Θεόδουλος ἐκαλεῖτο. ἐν δὲ τῷ πορεύεσθαι, πυρετῷ λάβρῳ ὁ ὑπάτιος συσχεθεὶς, ἄνωθεν ἐνεχθείσης φωνῆς, ἤκουεν, ἀγγέλου ἐπιφανέντος αὐτῷ, εἰ μέλλει τῆς νόσου ἀπαλλαγήσεσθαι

καλέσοις

...λέσοις, τρίτον ἐπικαλέσα... ...ι εἰς βοήθειαν τὸν τοῦ λεον... ...ς θεόν. Τῆς δὲ φωνῆς ταύτης ...αἰσθήσει ὁ θεόδουλος γεγο... ..., καὶ δὴ τυχὼν τῆς ἰάσεως ... ὁ Τριβοῦνος, ἐπεὶ κατέλα... τὸν ἅγιον ἅμα τοῖς σὺν αὐ... ..., τὸ μὲν πρῶτον Λεόντιον ...νοῶν ὅστις ἐστὶν, παρ᾽ αὐτοῦ ...ενίσθη. Ἐπιζητῶν δὲ τὸν ...ρ᾽ αὐτοῦ ζητούμενον Λεόντι..., εἶπεν ἑαυτὸν εἶναι, εἶναι ... τοῦ χριστοῦ δοῦλον, τοὺς δὲ λε...μένους θεοὺς ἀποβδελύττε... . Ἀκούσαντα δὲ ταῦτα ... Τριβοῦνον, καὶ τὸν θεόδου..., προσπεσεῖν τῷ ἁγίῳ καὶ ...εσθαι παρ᾽ αὐτοῦ τὴν χάριν ... ἐν χριστῷ δικαιώσεως. Εὐ...μένου δὲ αὐτοῦ τοῦ Ἁγίου ὑ...ὲρ αὐτῶν, καὶ τὴν ἐξ οὐρανοῦ ...φέλην ὕδατος λέγεται ἐλ...κὺν, καὶ φωνῆσαι αὐτοὺς, καὶ ...κὰς ἐνδῦσαι στολάς. Ἐφ᾽ ᾧ ...ς ἀπίστους ταραχθέντας, μη...σαι πάντα τῷ ἡγεμόνι Ἀδ...ιανῷ. Ὁ δὲ τούτους παραστη...μενος, ἐπεὶ οὐ θετῶν ἀπο...σαι τῆς τοῦ χριστοῦ πίστεως οὐκ ...εισε, τὸν μὲν ἅγιον ὑπάτιον ἀναρτηθῆναι, καὶ ξέεσθαι ἐκέλευσε, καὶ τὸν Ἅγιον Θεόδουλον ῥαπίζεσθαι, καὶ οὕτω τὰς κεφαλὰς ἐκτμηθῆναι. ὁ δὲ Μεγαλομάρτυς Λεόντιος, πρῶτα μὲν τύπτεται βάκλοις, εἶτα ταῖς παρακλήσεσι τοῦ Τυράννου καὶ κολακείαις μὴ προσχὼν, ἀλλὰ καταγελάσας αὐτὸν, τύπτεται σφοδρῶς. εἶτα κρεμασθεὶς, ἐπὶ πολὺ ξέεται, καὶ λίθῳ τῷ τραχήλῳ βαρυνθεὶς, καὶ τυπτόμενος, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ Ἁγίου Μάρτυρος Αἰθερίου.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Διαβληθεὶς οὖν, παρέστη Ἐλπιδίῳ τῷ ἄρχοντι, καὶ τὸν χριστὸν ὁμολογήσας, τείνεται, καὶ λαμπᾶσι πυρὸς καταφλέγεται, καὶ τριβόλοις σιδηροῖς πυρωθεῖσι τὰς μασχάλας διακαίεται, καὶ κατὰ τὸν νῶτον καὶ τὰ στέρνα, καὶ τοῖς μυκτῆρσιν ὄγκινους εἰσδέχεται, καὶ ἐν χαλκῷ τάπητι πυρωθέντι ἁπλοῦται, καὶ ἐκ τούτων πάντων Ἀγγέλου ἐπιστασίᾳ λυτροῦται. εἶτα οὕτω τὴν κεφαλὴν τέμνεται.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις

ᾠδὴ ζ᾽. Ὁ διασώσας ἐν πυρί.

Ῥωμαλεότητι φρενῶν, ὥσπερ οἱ αἰχμάλωτοι παῖδες, σὺν τῇ φλογὶ τῶν πειρασμῶν, καὶ τὴν πλάνην ἐπάτει Λεόντιος, ἀναμέλπων σοι Κύριε· ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἀποπασθείσης τῆς σαρκός, ἐπιλελησμένος πόνων, τοὺς αἰκισμοὺς ὑπὲρ Χριστοῦ, ὁ ἀήττητος Μάρτυς ὑπέφερε, μελῳδῶν σοι τῷ κτίσαντι· ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Σοφίας πόθῳ τε Χριστοῦ, φύσεως βιαίως κρατήσας, τῆς ἐπικήρου βιοτῆς, ζωηφόρον προέκρινας θάνατον, ἀναμέλπων Λεόντιε· ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Τριαδικόν.

Λόγον καὶ Πνεῦμα σὺν Πατρί, μίαν τρισυπόστατον φύσιν, θεολογῶν ὁ ἀκλινής, καὶ ἀήττητος Μάρτυς ἐκραύγαζεν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς τῶν πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν ἐν τῷ σταυρῷ.

Ἤφερε σαρκὸς πληγὰς ὁ Μάρτυς, καὶ τὸν ἀσώματον ἐχθρὸν, σφοδρότερον ἡμίας μέλπων· ὑπερυψοῦτε, Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὄρθριον τὸν νοῦν πρὸς τὸν Δεσπότην, ἐν ταῖς βολαῖς τῶν ἀκανθῶν, ἀνέτεινας τῷ πόθῳ, Μάρτυς· ὑπερυψοῦτε, βοῶν τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

Νίκη σοι Χριστὸς ὑπάρχει Μάρτυς, ὃν ταῖς αἰκίαις τῆς σαρκός, ἐδόξασας κραυγάζων· πάντες ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Τὸν ἐκ τῆς Ἁγνῆς τεχθέντα Λόγον, καὶ δωρησάμενον ζωὴν, τῷ γένει τῶν ἀνθρώπων, παῖδες ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας. Ὁ εἱρμός.

Τὸν ἐν σταυρῷ σαρκὶ προσηλωθέντα.

Ὠδὴ θ΄. Ὁ τόκος σου ἄφθορος ἐδείχθη.

Τριάδος θεράπων ἀνεδείχθης, λατρεύσας Λεόντιε ἀμέμπτως, ᾧ πᾶν γόνυ δὲ κάμπτει, ἐπουρανίων ἐπιγείων καὶ καταχθονίων, ὃν ὑμνοῦντες σωτῆρα μεγαλύνομεν.

Ἰδεῖν ἐφιέμενος αὔλως, προσώπῳ ἀνακεκαλυμμένῳ, τοῦ Κυρίου τὴν δόξαν, τὰς ἀρχὰς ἀπεξεδύσω καὶ ἐξουσίας, μίαν κηρύξας, Τρισυπόστατον Θεότητα.

Εὐφράνθη τῇ σῇ ὁμολογίᾳ, καὶ σε ὡμολόγησεν ἀξίως, τοῦ Πατρὸς ἐναντίον, ὁ Σωτήρ· ὃν ἐξιλεώσαι ἀθλοφόρε, πᾶσι τοῖς πίστει, μεγαλύνουσι τὴν μνήμην σου.

Θεοτοκίον

Φανεῖσα τῶν ἀγγέλων ἀνωτέρα, ὡς πάντων τεκοῦσα τὸν Σωτῆρα, Παναγία Παρθένε, σῶσον οἰκτείρησον λαὸν ἡμαρτηκότα, καὶ τῇ σκέπῃ τῶν πτερύγων σου τρέχοντα.

Ἐξαποστειλάριον

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῶν εὐσεβῶν ὁ σύλλογος, συνευφραίνεται ἅπας· σήμερον ἐν τῇ μνήμῃ σου, Λεόντιε θεομάκαρ· τὸν γὰρ Χριστὸν ἐκήρυξας, ἐναντίον τυράννων, καὶ τὴν ὀφρὺν, τὴν αὐτῶν κατέβαλες, καὶ τὴν πλάνην, τὴν τῶν εἰδώλων ἔλυσας, τῶν σῶν αἱμάτων, τῇ χύσει.

Θεοτ: Μαρία, ἡ καθαρώτατον.

Εἰς τοὺς αἴνους ἦχος, δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὸν ἀστέρα τὸν ἄδυτον, τὸν ἀπαύστως φωτίζοντα, ἐκκλησίας ἅπαντα τὰ συστήματα, καὶ τῶν δαιμόνων τὴν δύναμιν, ἀνδρείως νικήσαντα, τῇ δυνάμει τοῦ Σταυροῦ, καὶ ἐννόμως ἀθλήσαντα, καὶ στεψάμενον, τῇ χειρὶ τοῦ ὑψίστου κατ᾽ ἀξίαν, τὸν Λεόντιον τὸν μέγαν, ἀνευφημήσωμεν ᾄσμασιν.

Ἀθλοφόρε Λεόντιε, τῶν Μαρτύρων ἐγκαλλώπισμα, φερωνύμως κέκλησαι οὕτω πάνσοφε· τῶν γὰρ δαιμόνων τὰς φάλαγγας, ἀνδρείως διέρρηξας, ὡς Λεόντειος τὸν μῦν, καὶ τὸν τύραννον ἤλεγξας, καὶ κατῄσχυνας, τῇ ἐν σοί τε δυνάμει καὶ σοφίᾳ, διὰ τοῦτό σε τιμῶμεν, Πνευματικοῖς μελῳδήμασιν.

Ἐκ Θεοῦ μεμαρτύρησαι, εὐσεβείας ὑπέρμαχος, ὅτε σε οἱ δήμιοι προσεπέταξαν, προσαγαγεῖν πρὸς τὸν τύραννον, φωνῆς ἀκηκόασι, καὶ πεφρίκασι δεινῶς, κελευούσης καλέσασθαι, τὸ τρισσὸν Θεοῦ, ὃ αὐτὸς ὡμολόγεις ἀληθείας, οὓς εὐθέως ἐποιήσω, υἱοὺς φωτὸς, καὶ συμμάρτυρας.

Καὶ ῥοπάλοις τυπτόμενος, καὶ σιδήροις ξεόμενος, οὐκ ἠρνήσω πάνσοφε τὸν ποθούμενον, ἀλλ᾽ ὡς

ἀδάμας ἀοίδιμε, γενναίως ὑπέ-
μεινας, τῶν μελῶν σου τοὺς ξεσμοὺς,
καὶ ὡς σφάγιον τέθυσαι, καὶ προ-
σήνεξαι, τῷ Θεῷ στεφηφόρος, καὶ
πρεσβεύων, διὰ τοῦτο ἐκτελοῦμεν
τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα ἦχος πλ. α΄.

Τίς οὐκ ἐξίσταται ἀκούων τῆς ἀ-
ριστείας σου τοὺς ἄθλους, Λεόντι-
ε ἀοίδιμε; τὸν γὰρ Θεὸν ἀγα-
πῶν, τὸν κόσμον μεμίσηκας, καὶ
σαρκὸς συγγενοῦς, ὑπερόπτης γε-
γέννησαι, διδοὺς αὐτὴν τοῖς δημίοις,
διὰ τὸν δεσπότην σου παθεῖν, ὅθεν
καὶ τῶν μακαρίων μελῶν σου πα-
σχόντων, ἐκαρτέρεις στεῤῥῶς, τὸν
ποιητήν σου μιμούμενος. τὴν δὲ θεί-
αν κάραν σου ἐκτμηθεὶς, ἄνω-
θεν ἐστέφθης, παρὰ τοῦ παν-
τάνακτος Θεοῦ. πρὸς ὃν ἄπιε,
ὡς ἔχων παῤῥησίαν πολλὴν, μὴ
διαλείπης πρεσβεύειν, ὑπὲρ ἡ-
μῶν τῶν ἱκετῶν σου, ἵνα ῥυσθῶ-
μεν κινδύνων, καὶ πειρασμῶν, καὶ
ἄμεμπτοι φανῶμεν, ἐν τῇ ἡμέρᾳ
τῆς κρίσεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυ-
σις. Εἰς τὴν Λειτουργίαν Τυ-
πικὰ, καὶ ἐκ τῶν Κανόνων
τοῦ ἁγίου, ᾠδὴ, γ. καὶ ς.

ὁ Ἀπόστολος. προκείμενον
ἦχος βαρύς.
εὐφρανθήσεται Δίκαιος ἐμ
Κυρίῳ

στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φω-
νῆς μου.

Πρὸς Τιμόθεον β΄
Ἐπιστολῆς Παύλου.

Τέκνον Τιμόθεε ἐνδυναμοῦ ἐμ τῇ
χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. καὶ ἃ
ἤκουσας κτ. ζήτει ὀκτωβρίου κς.

Ἀλληλούϊα ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.
στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ
Κυρίου.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάν-
νην.

Εἶπεμ ὁ Κύριος τοῖς ἑαυτοῦ Μα-
θηταῖς. ταῦτα ἐντέλλομαι ὑμῖν,
ἵνα ἀγαπᾶτε ἀλλήλους. εἰ ὁ κόσμος ὑ-
μᾶς μισεῖ κτ. ζήτει τῇ κς΄ ὀκ-
τωβρίου.

Κοινωνικόν. εἰς μνημόσυνον.